









# ΒΕΝΕΔΙΚΤΟΣ ΕΛΕΩ͂ ΘΕΟΥ ΠΑΤΡΙΑΡΧΗΣ ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

Ἡ Μετριότης ἡμῶν ἀπὸ τῆς χάριτος, δωρεᾶς τε καὶ ἐξουσίας τοῦ Παναγίου καὶ Ζωαρχικοῦ Πνεύματος, τῆς δοθείσης παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς Ἱεροῖς αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις εἰς τὸ δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, εἰρηκότος αὐτοῖς, «λάβετε Πνεῦμα Ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται, καὶ ὅσα ἂν δήσητε καὶ λύσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ λελυμένα ἐν τοῖς Οὐρανοῖς»· ἐξ ἐκείνων δὲ καὶ εἰς ἡμᾶς ἀλληλοδιαδόχως ταύτης διαβάσης τῆς θείας χάριτος, ἔχει συγκεχωρημένον καὶ τὸ κατὰ Πνεῦμα αὐτῆς τέκνον ΑΝΤΩΝΙΟΥ Ν. ΜΑΛΜΟΥ προσκυνητοῦ τοῦ Παναγίου Τάφου εἰς ὅσα καὶ αὐτ___ ὡς ἄνθρωπος ἥμαρτεν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ἑκουσίως ἢ ἀκουσίως καὶ ἢ ὑπὸ κατάραν ἢ ἀφορισμὸν Ἀρχιερέως ἢ Ἱερέως ἐγένετο ἢ πατρὸς ἢ μητρὸς αὐτ___ ἢ τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ἢ ὅρκον παρέβη ἢ ἄλλοις τισὶν ἁμαρτήμασιν ὡς ἄνθρωπος περιεπάρη καὶ ταῦτα Πνευματικοῖς Πατράσιν ἐξωμολογήσατο καὶ τὸν παρ' αὐτῶν κανόνα ἐκ καρδίας ἐδέξατο καὶ πληρῶσαι προεθυμήθη, ἐκ πάντων τούτων ἐνοχῆς τε καὶ τοῦ πταίσματος λύομεν αὐ___ καὶ ἐλευθερ___ ἔχομεν καὶ συγκεχωρημέν___ τῇ Παντοδυνάμῳ ἐξουσίᾳ καὶ χάριτι τοῦ Παναγίου Πνεύματος. Ὅσα δὲ διὰ λήθην ἀνεξομολόγητα εἴασε, κἀκεῖνα πάντα συγχωρήσειεν αὐτὸς ὁ ἐλεήμων Θεὸς δι' ἰδίαν φιλανθρωπίαν καὶ ἀγαθότητα, πρεσβείαις τῆς Ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τοῦ Ἁγίου Ἐνδόξου καὶ Πανευφήμου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου καὶ πρώτου Ἱεράρχου τῶν Ἱεροσολύμων καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

[signature]

Ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλὴμ ἔτει σωτηρίῳ 1964

[stamp: 1957]

[illegible]











ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΠΑΤΡΙΑΡΧΕΙΟΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

Απονομή προσκυνηταρίου
στον Α. Μαλμο
1964.